## Περὶ ποιότητος ψυχῆς.

Περὶ μὲν οὖν τῶν σωματικῶν συμπτωμάτων, ὁ τύπος τῆς ἐπισκέψεως, τοιοῦτος ἄν τις εἴη. τῶν δὲ ψυχικῶν ποιοτήτων, αἱ μὲν περὶ τὸ νοερὸν καὶ λογικὸν μέρος, καταλαμβάνονται διὰ τῆς κατὰ τὸν τοῦ ☿ ἀστέρα θεωρουμένης ἑκάστοτε περιστάσεως. αἱ δὲ περὶ τὸ ἠθικὸν καὶ ἄλογον, ἀπὸ τῶν σωματωδεστέρων φώτων, τουτέστι τῶν τε τῆς ☾, καὶ τῶν πρὸς τὰς ἀπορροίας, ἢ καὶ τὰς συναφὰς αὐτῆς συνεσχηματισμένων ἀστέρων. πολυτρόπου τοίνυν ὄντος τοῦ περὶ τὰς ψυχικὰς ὁρμὰς εἴδους, εἰκότως ἂν καὶ τὴν τοιαύτην ἐπίσκεψιν, οὐχ ἁπλῶς οὐδ᾽ ὡς ἔτυχε ποιοίμεθα, διὰ πλειόνων δὲ καὶ ποικίλων παρατηρήσεων. καὶ γὰρ αἱ τῶν ζωδίων τῶν περιεχόντων τόν τε τοῦ ☿, καὶ τὴν ☾, ἢ τῶν τὴν ἐπικράτησιν αὐτῶν εἰληφότας ἀστέρας διαφοραὶ, πολὺ δύνανται συμβάλλεσθαι πρὸς τὰ τῶν ψυχῶν ἰδιώματα, καὶ οἱ τῶν λόγον ἐχόντων πρὸς τὸ προκείμενον εἶδος τῶν ἀστέρων σχηματισμοὶ, πρὸς τὸν ☉ τε καὶ τὰ κέντρα, καὶ ἔτι δὲ κατ᾽ αὐτὴν τὴν ἑκάστου τῶν ἀστέρων φύσιν, πρὸς τὰς ψυχικὰς κινήσεις ἰδιότροπον. τῶν μὲν οὖν ζωδίων καθόλου τὰ μὲν τροπικὰ δημοτικωτέρας ποιεῖ τὰς ψυχὰς, ὀχλικῶν τε καὶ πολιτικῶν πραγμάτων ἐπιθυμητικάς. ἔτι δὲ καὶ φιλοδόξους, καὶ θεοπροσπόλους, εὐφυεῖς τε, καὶ εὐκινήτους. ζητητικὰς. εὑρετικάς. εὐεικάστους. ἀπολογητικὰς. μαντικάς. τὰ δὲ δίσωμα ποικίλας. εὐμεταβόλους. δυσκαταλήπτους, κούφας. εὐμεταθέτους. διπλάς. ἐρωτικάς. πολυτρόπους. φιλομούσους. ῥαθύμους. εὐπορίστους. μεταμελητικάς. τὰ δὲ στερεὰ, δικαίας. ἀκολακεύτους. ἐπιμόνους. βεβαίας. συνετὰς. ὑπομενητικὰς. φιλοπόνους. σκληρὰς. ἐγκρατεῖς. μνησικάκους. ἐκβιβαστικάς. ὑβριστικάς. φιλοτίμους. στασιώδεις. πλεονεκτικάς. ἀποκρότους. ἀμεταθέτους. τῶν δὲ σχηματισμῶν, αἱ μὲν ἀνατολικαὶ ὡροσκοπίαι. καὶ μάλιστα αἱ ἰδιοπροσωπίαι, ἐλευθερίους, καὶ ἁπλᾶς, καὶ αὐθάδεις καὶ ἰσχυρὰς, καὶ εὐφυεῖς, καὶ ὀξείας καὶ ἀπαρακαλύπτους τὰς ψυχὰς ἀπεργάζονται. οἱ δὲ ἑῷοι στηριγμοὶ καὶ αἱ μεσουρανήσεις, ἐπιλογιστικάς. ἐπιμόνους, μεγαλόφρονας, μνημονευτικάς, ἀποτελεστικὰς ὧν βούλονται, ἀτρέπτους, ῥωμαλέας, ἀνεξαπατήτους, βεβαίας, συνετὰς, μεγαλόφρονας, ἀτρέπτους, ὁρμὰς, ἀνεξαπατήτους, κριτικούς, ἐμπράκτους, κολαστικὰς, ἐπι-

ἐπιστημονικὰς